## ΠΡΟΒΛΗΜΑ ΙΒ

*Πότερόν ἐστι πιθανώτερον τὸ ἀρτίους εἶναι τοὺς σύμπαντας ἀστέρας ἢ περιττούς*

Colloeuntur Sospis, Glaucias, Protogenes, Plutarchus, alii

* * ὅρκοις δ' ἄνδρας ἐξαπατητέον;' καὶ ὁ Γλαυκίας 'ἐγὼ μέν' ἔφη 'κατὰ Πολυκράτους ἀκήκοα τοῦ τυράννου λεγόμενον τὸν λόγον τοῦτον· εἰκὸς δὲ καὶ καθ' ἑτέρων λέγεσθαι· σὺ δὲ πρὸς τί τοῦτ' ἐρωτᾷς;' 'ὅτι νὴ Δί'' ὁ Σῶσπις ἔφη 'τοὺς μὲν παῖδας ἀστραγάλοις ὁρῶ τοὺς δ' Ἀκαδημαϊκοὺς λόγοις ἀρτιάζοντας· οὐδὲν γὰρ οἱ τοιοῦτοι στοχασμοὶ διαφέρουσιν τῶν ἐρωτώντων, πότερον ἄρτια τῇ χειρὶ συνειληφότες ἢ περιττὰ προτείνουσιν.' ἐπαναστὰς οὖν ὁ Πρωτογένης καί με καλέσας ἐξ ὀνόματος 'τί παθόντες' εἶπεν 'τοὺς ῥήτορας τούτους τρυφᾶν ἐῶμεν, ἑτέρων καταγελῶντας, αὐτοὺς δὲ μηδὲν ἐρωτωμένους μηδὲ συμβολὰς λόγων τιθέντας; εἰ μὴ νὴ Δία φήσουσι μηδὲν αὐτοῖς μετεῖναι τῆς ἐν οἴνῳ κοινωνίας, Δημοσθένους ἐπαινέταις D καὶ ζηλωταῖς οὖσιν, ἀνδρὸς ἐν ἅπαντι τῷ βίῳ μηδέποτε πιόντος οἶνον.' 'οὐκ αἴτιον' ἔφην ἐγώ 'τοῦτο τούτων, ἀλλ' ἡμεῖς οὐδὲν αὐτοὺς ἠρωτήκαμεν· εἰ δὲ μή τι σὺ χρησιμώτερον ἔχεις, ἐγώ μοι δοκῶ προβαλεῖν αὐτοῖς ἐκ τῶν Ὁμήρου ῥητορικῶν θέσεων μίαν ἀντινομικήν.'